καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νοῦς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις, ὧν ἄν τις κοινωνήσαι ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἔτι ἐπιπολαιότερον ἀποφηναμένοις. καὶ γὰρ καὶ οὗτοι συμβάλλονταί τι. τὴν γὰρ ἕξιν προήσκησεν ἡμῶν. εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν οὐκ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν περὶ τῆς ἀληθείας B ἀποφηναμένων. παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας· οἱ δὲ τοῦ γενέσθαι τούτοις αἴτιοι γεγόνασιν. ὀρθῶς δ' ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας θεωρητικήν· θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον. καὶ γὰρ ἂν τὸ πῶς ἔχει σκοπῶσι, οὐ τὸ αἴτιον καθ' αὑτό, ἀλλὰ πρός τι, καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. C ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων, καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον. καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος. ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς, ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας. οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' ἐκείναις αἴτιόν τι ἐστὶ τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. ὥσθ' ἕκαστον ὡς D ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

### Κεφάλαιον β.

Ἀλλὰ μὴν ὅτι γ' ἔστιν ἀρχή τις, καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων, οὔτ' εἰς εὐθυωρίαν, οὔτε κατ' εἶδος, δῆλον. οὔτε γὰρ ὡς ἐξ ὕλης, τόδ' ἐκ τοῦδε δυνατὸν ἰέναι εἰς ἄπειρον, οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δ' ἐκ τοῦ ἀέρος, ἀέρα δ' ἐκ πυρός, καὶ τοῦτο μὴ ἵστασθαι· οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· οἷον, τὸν μὲν ἄνθρωπον ὑπὸ E τοῦ ἀέρος κινηθῆναι, τοῦτον δ' ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι πέρας. ὁμοίως δὲ οὐδὲ τὸ οὗ ἕνεκα, εἰς ἄπειρον οἷόν τε ἰέναι· βάδισιν μὲν ὑγιείας ἕνεκα, ταύτην δ' εὐδαιμονίας, τὴν δ' εὐδαιμονίαν ἄλλου, καὶ οὕτως ἀεὶ ἄλλο ἄλλου ἕνεκεν εἶναι. καὶ ἐπὶ τοῦ τί ἦν εἶναι ὡσαύτως. τῶν γὰρ μέσων ὧν ἐστιν ἔξω τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον F αἴτιον τῶν μετ' αὐτό. εἰ γὰρ εἰπεῖν ἡμᾶς δέοι τί τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐροῦμεν. οὐ γὰρ δὴ τό γ' ἔσχατον. οὐδενὸς γὰρ τό γε τελευταῖον. ἀλλὰ μὴν οὐδὲ τὸ μέσον· ἑνὸς γάρ. οὐδὲν γὰρ διαφέρει ἓν ἢ πλείω εἶναι, οὐδ' ἄπειρα ἢ πεπερασμένα. τῶν δ' ἀπείρων τοῦτον τὸν τρόπον,

A stissima omnium sunt. Verùm non solùm illis agendæ sunt gratiæ, quorum opinionibus quis acquiescet, sed illis qui superficie tenus dixerunt. Conferunt enim aliquid etiam isti: habitum namque nostrum exercuerunt. Si enim Timotheus non fuisset, multum melodiæ nequaquam habuissemus. Si tamen Phrynis non extitisset, ne Timotheus quidem. Simili modo & de illis est, qui de veritate asseruerunt. A quibusdam enim aliquas accepimus opiniones: quidam verò, vt hi fierent, causæ fuerunt. Rectè autem se habet philosophiam, scientiam veritatis appellare. Speculatiuæ etenim finis, veritas: practicæ autem, opus. Etenim si quo modo se habent, considerant, non causam per se, sed ad aliquid, & eo in tempore practici speculantur. Nescimus autem verum absque causa: vnumquodque verò id ipsum maximè aliorum est, secundum quod aliis vniuocatio inest: vtputa ignis calidissimum. Etenim cæteris hic est caliditatis causa. Quare verissimum etiam est id, quod posterioribus vt vera sint, causa est. Propter quod principia semper existentium, necesse est verissima esse. Nec enim aliquando vera, nec illis vt sint, aliquid aliud causa est, sed illa cæteris. Quare vt secundum esse vnumquodque se habet, ita etiam secundum veritatem.

### CAPVT II.

Atverò quòd est principium aliquod, neque sunt infinitæ entium causæ, neque in rectum, neque secundum speciem, patet. Nec enim vt ex materia, hoc ex hoc potest esse infinitum, vt carnem ex terra, terram ex aere, aerem ex igne, & hoc non stare. Nec vnde principium motus: veluti hominem quidem ab aere moueri, hunc verò à Sole, Solem autem à contentione, & huius nullum esse finem. Similiter nec cuius causa, in infinitum progredi potest: vt deambulationem quidem sanitatis causa, illam verò felicitatis, felicitatem verò alterius: & ita semper aliud alterius gratia esse. Similiter autem & de eo, quod quid erat esse. Mediorum sanè, quorum extra aliquid vltimum & primum est, necesse est quod prius est, causam esse eorum, quæ post illud sunt. Si enim dicere nos oportuerit quid trium causa est, primum dicemus. Non enim vltimum, (nullius enim, quod vltimum est) neque medium: vnius enim. Nil enim differt vnum, an plura sint, nec infinita. Infinitorum quidem hoc modo